Ακαδημία Αθηνών / Academy of Athens

*ὀρούοντες, ἢν ἑνὸς μούνου ⟨μὴ⟩ τύχωσι καταφερόμενοι, ἔνθα δεῖ τοὺς π ό δ α ς ἐρεῖσαι, ἀπόλλυνται (χαλεπὸν δὲ τυχεῖν ἑνός· τὸ γὰρ ἴχνιον μοῦνον λέλειπται τῶν π ο δ ῶ ν).* || Ξενοφάνης 28.1 *γαίης μὲν τόδε πεῖρας ἄνω παρὰ π ο σ σ ὶ ν ὁρᾶται ἠέρι προσπλάζον, τὸ κάτω δ' ἐς ἄπειρον ἱκνεῖται* Ἡράκλειτος 3 *εὖρος π ο δ ὸ ς ἀνθρωπείου (sc. ἥλιος).*

**πρᾶγμα 1.** Πράγμα/συστατικό, thing/constituent, Φιλόλαος 6.2-6 *ἁ μὲν ἐστὼ τῶν π ρ α γ μ ά τ ω ν ἀίδιος ἔσσα ... μὴ ὑπαρχούσας τᾶς ἐστοῦς τῶν π ρ α γ μ ά τ ω ν, ἐξ ὧν συνέστα ὁ κόσμος, καὶ τῶν περαινόντων καὶ τῶν ἀπείρων* 11.9-14-17 *οὐ γὰρ ἧς δῆλον οὐδενὶ οὐδὲν τῶν π ρ α γ μ ά τ ω ν οὔτε αὐτῶν ποθ' αὐτὰ οὔτε ἄλλω πρὸς ἄλλο, εἰ μὴ ἧς ἀριθμὸς ... νῦν δὲ οὗτος (sc. ἀριθμός) ... σχίζων τοὺς λόγους χωρὶς ἑκάστους τῶν π ρ α γ μ ά τ ω ν τῶν τε ἀπείρων καὶ τῶν περαινόντων. ἴδοις δέ κα οὐ μόνον ἐν τοῖς δαιμονίοις καὶ θείοις π ρ ά γ μ α σ ι τὰν τῶ ἀριθμῶ φύσιν καὶ τὰν δύναμιν ἰσχύουσαν.* || Δημόκριτος 164.12 *αἱ δὲ περιφερεῖς ταῖς περιφερέσιν ὡς ἂν συναγωγόν τι ἐχούσης τῶν π ρ α γ μ ά τ ω ν τῆς ἐν τούτοις ὁμοιότητος.* Πρβλ. *χρῆμα* **2.** Πράγμα/πράξη, thing/action, Δημόκριτος 35 *γνωμέων μευ τῶνδε εἴ τις ἐπαΐοι ξὺν νόῳ, πολλὰ μὲν ἔρξει π ρ ά γ μ α τ' ἀνδρὸς ἀγαθοῦ ἄξια, πολλὰ δὲ φλαῦρα οὐχ ἔρξει.* Πρβλ. *πρᾶξις, ἔργον.*

**πραγματεία.** Πραγματεία, treatise, Ἀρχύτας 4.5 *καὶ ἃ ἐκλείπει αὖ ἁ γεωμετρία, καὶ ἀποδείξιας ἁ λογιστικὰ ἐπιτελεῖ καὶ ὁμῶς, εἰ μὲν εἰδέων τεὰ π ρ α γ μ α τ ε ί α, καὶ τὰ περὶ τοῖς εἴδεσιν.*

**πραγματεύεσθαι.** Πραγματεύομαι, study/treat, Ἀρχύτας 4.3 *καὶ δοκεῖ ἁ λογιστικὰ ποτὶ τὰν σοφίαν τῶν μὲν ἀλλᾶν τεχνῶν καὶ πολὺ διαφέρειν, ἀτὰρ καὶ τᾶς γεωμετρικᾶς ἐναργεστέρω π ρ α γ μ α τ ε ύ ε σ θ α ι ἃ θέλει.*

**πραέως.** Μὲ πραότητα, with mildness, Δημόκριτος 46 *μεγαλοψυχίη τὸ φέρειν π ρ α έ ω ς πλημμέλειαν.*

**πρᾶξις.** Πράξη, action, Δημόκριτος 55 *ἔργα καὶ π ρ ή ξ ι α ς ἀρετῆς, οὐ λόγους, ζηλοῦν χρειὼν* 66 *προβουλεύεσθαι κρεῖσσον*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

*πρὸ τῶν* π ρ ά ξ ε ω ν *ἢ μετανοεῖν* 81 *τὸ ἀεὶ μέλλειν ἀτελέας ποιεῖ τὰς* π ρ ή ξ ι α ς 177 *οὔτε λόγος ἐσθλὸς φαύλην* π ρ ῆ ξ ι ν *ἀμαυρίσκει οὔτε* π ρ ῆ ξ ι ς *ἀγαθὴ λόγου βλασφημίῃ λυμαίνεται* 269 *τόλμα* π ρ ή ξ ι ο ς *ἀρχή, τύχη δὲ τέλεος κυρίη*. Πρβλ. *πρᾶγμα, ἔργον*.

**πραπίδες 1.** Φρένες/νοῦς, mind, Ἐμπεδοκλῆς 110.1 *εἰ γάρ κέν σφ᾽ ἀδινῇσιν ὑπὸ* π ρ α π ί δ ε σ σ ι ν *ἐρείσας εὐμενέως καθαρῇσιν ἐποπτεύσῃς μελέτῃσιν* 129.4 *ὁππότε γὰρ πάσῃσιν ὀρέξαιτο* π ρ α π ί δ ε σ σ ι ν. Πρβλ. *φρὴν* **2.** Νοήματα/νοημοσύνη, thoughts/intelligence, Ἐμπεδοκλῆς 129.2 *ὃς δὴ μήκιστον* π ρ α π ί δ ω ν *ἐκτήσατο πλοῦτον* 132.1 *ὄλβιος, ὃς θείων* π ρ α π ί δ ω ν *ἐκτήσατο πλοῦτον*.

**πράσσειν** (τύπ. *πρήσσειν*). Πράττω/ἐπιτελῶ, do/manage, Ξενοφάνης 1.16 *σπείσαντας δὲ καὶ εὐξαμένους τὰ δίκαια δύνασθαι* π ρ ή σ σ ε ι ν Δημόκριτος 2 *Τριτογένεια ... γίνεται δὲ ἐκ τοῦ φρονεῖν τρία ταῦτα ... τὸ εὖ λογίζεσθαι, τὸ εὖ λέγειν καὶ τὸ* π ρ ά τ τ ε ι ν *ἃ δεῖ* 3 *τὸν εὐθυμεῖσθαι μέλλοντα χρὴ μὴ πολλὰ* π ρ ή σ σ ε ι ν, *μήτε ἰδίῃ μήτε ξυνῇ, μηδὲ ἅσσ᾽ ἂν* π ρ ά σ σ ῃ, *ὑπέρ τε δύναμιν αἱρεῖσθαι τὴν ἑωυτοῦ καὶ φύσιν* 68 *δόκιμος ἀνὴρ καὶ ἀδόκιμος οὐκ ἐξ ὧν* π ρ ά σ σ ε ι *μόνον, ἀλλὰ καὶ ἐξ ὧν βούλεται* 191.17 *δι᾽ ἐπιθυμίην τοῦ τι* π ρ ή σ σ ε ι ν *ἀνήκεστον ὧν νόμοι κωλύουσιν* 234.3 *ἀκρασίῃ δὲ τἀναντία* π ρ ή σ σ ο ν τ ε ς *αὐτοὶ προδόται τῆς ὑγείης τῇσιν ἐπιθυμίῃσιν γίνονται* 253 *τοῖς χρηστοῖσιν οὐ συμφέρον ἀμελέοντας τῶν ἑωυτῶν ἄλλα* π ρ ή σ σ ε ι ν· *τὰ γὰρ ἴδια κακῶς ἔσχεν*. || Ἐμπεδοκλῆς 113.1 *ἀλλὰ τί τοῖσδ᾽ ἐπίκειμ᾽ ὡσεὶ μέγα χρῆμά τι* π ρ ά σ σ ω ν. || **βέλτιον πρήσσειν - φαυλότερον πρήσσειν.** Εἶμαι σὲ καλύτερη - χειρότερη κατάσταση, be in a better - worse condition, Δημόκριτος 191.20-21 *παραβάλλοντα τὸν ἑαυτοῦ βίον πρὸς τὸν τῶν* φ α υ λ ό τ ε ρ ο ν π ρ η σ σ ό ν τ ω ν *καὶ μακαρίζειν ἑωυτὸν ἐνθυμεύμενον ἃ πάσχουσιν, ὁκόσῳ αὐτέων* β έ λ τ ι ο ν π ρ ή σ σ ε ι *τε καὶ διάγει*.

**πρεσβύτης** (συνών. *γέρων*, ἀντίθ. *νέος*). Πρεσβύτης, elder/old man, Δημόκριτος 5 *ἐν τῷ Μικρῷ διακόσμῳ, νέος κατὰ* π ρ ε σ β ύ τ η ν *Ἀναξαγόραν*.

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ